Στ. Φέρε τουτὶ πῶς χρὴ πιστεύειν; Σω. ἀπὸ σαυτοῦ ἐγώ σε διδάξω. A

Ἤδη ζωμοῦ Παναθηναίοις ἐμπλησθεὶς, εἶτ᾽ ἐταράχθης

Τὴν γαστέρα, καὶ κλόνος ἐξαίφνης αὐτὴν διεκορκορύγησεν;

Στ. Νὴ τὸν Ἀπόλλω. καὶ δεινὰ ποιεῖ γ᾽ εὐθύς μοι καὶ τετάρακται.

Χ᾽ ὥσπερ βροντὴ τὸ ζωμίδιον παταγεῖ. καὶ δεινὰ κέκραγεν. B

Ἀτρέμας πρῶτον παππάξ. κᾆπειτ᾽ ἐπάγει παπαπαππάξ.

Χ᾽ ὅταν χέζω κομιδῇ βροντᾷ παπαπαππὰξ ὥσπερ ἐκεῖναι.

Σω. Σκέψαι τοίνυν γ᾽ ἀπὸ γαστριδίου τυννουτουὶ οἷα πέπορδας.

Τὸν δ᾽ ἀέρα τόνδ᾽ ὄντ᾽ ἀπέραντον, πῶς οὐκ εἰκὸς μέγα βροντᾶν. C

Ταῦτ᾽ ἄρα καὶ τὼ ᾽νόματ᾽ ἀλλήλοιν, βροντὴ καὶ πορδὴ ὁμοίω.

Στρ. Ἀλλ᾽ ὁ κεραυνὸς πόθεν αὖ φέρεται λάμπων πυρί. τοῦτο δίδαξον.

Καὶ καταφρύγει βάλλων ἡμᾶς, τοὺς δὲ ζῶντας περιφλύει.

Τοῦτον γὰρ δὴ φανερῶς ὁ Ζεὺς ἵησ᾽ ἐπὶ τοὺς ἐπιόρκους.

D Σω. Καὶ πῶς ὦ μῶρε σὺ, καὶ Κρονίων ὄζων, καὶ βεκκεσέληνε,

Εἴπερ βάλλει τοὺς ἐπιόρκους πῶς δῆτ᾽ οὐχὶ Σίμων᾽ ἐνέπρησεν,

ST. *Cedò, quomodo possim hoc credere?* SO. *ego hoc in teipso exinde docebo.*

*Nónne in Panathenaicis ubi iam iure oppletus tibi venter*

*Fuerit, túque illum commóris, subitum murmur sonat intus?*

ST. *Ita, per Phœbum: illicet horrendum intonat, exoritúrque tumultus:*

*Et iusculum, uti tonitru, strepit intus: tum fragor editur ingens:*

*Primo sensim, Pappax, mox inde infert sonitum, Papappax:*

*Et quando caco, tum demum papapappax intonat, ut & illæ.*

SO. *Iam tu igitur coniice, si è tantillo tam grande pepederis aluo,*

*Qui non fiet æquum, hunc immensum aera, & ipsum grande tonare?*

*Atque hinc crepitus & tonitrus nomina sono æquantur eodem.*

ST. *Sed quæso, unde ignitum istud fulmen decidit? hoc doceas me.*

*Nam feriens nos & frigore percellit, & amburit: & æquus*

*Iuppiter hoc ipsum in periuros, celsa iaculatur ab arce.*

SO. *Et quomodo tu fatue, & Lunatice, qui Saturnia oles (si*

*Periuros fulmine plectit) quomodo non etiam ille Simonem*

Σχόλια. Ἀπὸ σαυτοῦ ᾽γώ σε διδάξω.] εἰς τὸ ἑαυτοῦ τελείαν στικτέον. ἐπεὶ σύνθετόν ἐστι καὶ ἀμετάβατον γίνεται, ὑφ᾽ ἓν λέγουσι. Ζωμοῦ Παναθηναίοις.] ἐν τοῖς Παναθηναίοις αἱ Ἀττικαὶ τοῖς Ἀθηναίοις πόλεις ἔπεμπον βοῦς. ὅθεν ἡ δαψίλεια τῶν κρεῶν. ἄλλως. ἤδη ποτ᾽ ἐν τοῖς Παναθηναίοις ἐκόρεσας σου ζωμοῦ τὴν γαστέρα. τὰ δὲ Παναθήναια ἑορτὴν παρ᾽ Ἀθηναίοις εἶναι μεγίστην παρὰ πάντων ᾄδεται. ἐπεὶ οὖν ἐν τοῖς Παναθηναίοις πᾶσαι πόλεις αἱ ἀπὸ τῶν Ἀθηνῶν ἀποικισθεῖσαι βοῦν θυσόμενον ἔπεμπον, συνέβαινεν ἄδειαν εἶναι τῶν κρεῶν ὥστε πληροῦσθαι πάντας καὶ παρὰ τὸ δέον ἐσθίοντας, διὰ τὴν ἀφθονίαν τῶν κρεῶν. E

BISETVS. Παναθηναίοις] Σ. Παναθήναια Ἀθήνησιν ἑορτὴ ἐπὶ τῷ ὑπὸ Θησέως γινομένῳ συνοικισμῷ. πρῶτον μὲν ὑπὸ τοῦ Ἐριχθονίου τοῦ Ἡφαίστου, καὶ τῆς Ἀθηνᾶς. ὕστερον δὲ ὑπὸ Θησέως συναγαγόντος τοὺς δήμους εἰς ἄστυ. ἄγεται δὲ ὁ ἀγὼν διὰ πέντε ἐτῶν. καὶ ἀγωνίζεται παῖς Ἰσθμια, οὐ πρεσβύτερος. τὸ ἀγένειος, καὶ ἀνήρ. τῷ δὲ νικῶντι δίδοται ἆθλον, ἔλαιον ἀμφιφορεῦσι. καὶ ὁ νικῶν στεφανοῦται ἐλαίᾳ πλεκτῇ. διττὰ δὲ τὰ Παναθήναια ἤγετο Ἀθήνησι. τὰ μὲν καθ᾽ ἕκαστον ἐνιαυτὸν τὰ δὲ, διὰ πενταετηρίδος, ἃ καὶ μεγάλα ἐκάλουν. F

Σχόλια. Εἶτ᾽ ἐταράχθης.] εἶτα συνέβη κινηθῆναι καὶ διαταραχθῆναι τὴν γαστέρα. Καὶ κλόνος ἐξαίφνης.] καὶ στρόφος τις καὶ εἴλιξ αὐτῇ συνέπεσε. διεκορκορύγησε δὲ ἀντὶ τοῦ ἤχησε. κορκορυγεῖν γάρ ἐστι τὸ τὴν γαστέρα λαλεῖν μόνον. ἢ ἐμιμήσατο τῇ φωνῇ τῶν ἐντέρων τὸν ἦχον. Ἀπὸ γαστριδίου τυννουτουὶ οἷα] τὸ τηλικουτοσὶ ποσὸν δηλοῖ συναγαγὼν δὲ τοὺς δακτύλους ἐρεῖ, τυννὸν γὰρ τὸ μικρόν. ὅτε δὲ G ἔλαβεν ὁμολογοῦντα τὸν πρεσβύτην, τότε προσάγειν αὐτὸν ἐπεχείρει τῇ συγκρίσει. καί φησι, θαυμάζεις εἰ βροντῶσιν αἱ Νεφέλαι πάντα κατέχουσαι τὸν οὐρανὸν, ὅτε ἀπὸ μικρᾶς οὕτω τῆς σῆς οὔσης κοιλίας τοσοῦτος ἦχος ἀπὸ τῶν πορδῶν γίνεται. Τὼ ᾽νόματ᾽ ἀλλήλοιν] διὰ τοῦτο καὶ τὰ τοιαῦτα ὀνόματα ἀλλήλοις εἶναι δοκεῖ προσφερῆ καὶ ὅμοια τοῦ βροντοῦ καὶ τοῦ πορδῆς. ἔπαιξε δὲ παρὰ τὸ ὁμοιοκατάληκτον. Καὶ καταφρύγει.] λέγεται γὰρ ὅτι πολλάκις ὁ κεραυνὸς ἀψάμενος, οὐκ ἀναιρεῖ, ἀλλὰ περιφλέγει μόνον. ἄλλως, καταφρύγει, καταίθει. περιφλύει δὲ περικαίει ἐπιπολῆς. τὸ δὲ ζῶντας, τινὲς ἀντὶ τοῦ πλουσίους ἤκουσαν. Κρονίων ὄζων.] ἀντὶ ἀρχαϊκῆς εὐηθείας δηλωδῶς. ἔστι δὲ Κρόνια παρὰ τοῖς Ἕλλησιν ἑορτή. τὰ παρὰ Ῥωμαίοις καλούμενα Σατουρνάλια, ἢ Ἀπατούρια. Βεκκεσέληνε.] Σεσόγχωσις ὁ βασιλεὺς τῶν Αἰγυπτίων κοσμοκράτωρ γεγονὼς, ἠθέλησε γνῶναι τοὺς ἀρχαιοτέρους τῶν ἀνθρώπων. καὶ τροφόν τινα γλωττοτομήσας ἀπέκλεισε μετὰ βρέφους. αὐξηθέντος οὖν καὶ βοῶντος βεκ ἤκουσε καὶ ἔγνω ὁ βασιλεὺς, ὅτι ἀρχαιότεροι ἦσαν οἱ Παφλαγόνες. παρ᾽ αὐτοῖς δὲ ὁ ἄρτος βεκ λέγεται συνθέτως δὲ εἶπε τὴν λέξιν βεκκεσέληνε. ἐπεὶ καὶ οἱ Ἀρκάδες προσέληνοι ἐλέγοντο. Ἀπολλώνιος Ἀρκάδες οἳ καὶ πρόσθε σεληναίης ὑδέονται. τοῦτο δὲ τοῦτο οἱ περὶ τὸν Λούκιλλον τὸν Ταρραῖον καὶ Σοφόκλειον καὶ Θέωνα ἑρμηνεύοντες τάδε φασίν. οἱ Ἀρκάδες δοκοῦσι πρὸ τῆς σελήνης γεγονέναι ὡς καὶ Εὔδοξος ἐν τῇ περιόδῳ. Θεόδωρος δὲ ἐν τῇ εἰκοστῇ δευτέρᾳ, ὀλίγῳ πρότερόν φησι τοῦ πρὸς γίγαντας πολέμου Ἡρακλέους τὴν σελήνην φανῆναι. καὶ Ἀρχίας ὁ Χῖος ἐν